ἰδεῖν πηλίκον τὸ πλάτος αὐτῆς ἐστιν καὶ πηλίκον τὸ μῆκος. 7καὶ 7
ἰδοὺ ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ εἱστήκει, καὶ ἄγγελος ἕτερος ἐξ-
επορεύετο εἰς συνάντησιν αὐτῷ 8καὶ εἶπεν πρὸς αὐτὸν λέγων Δράμε 8
καὶ λάλησον πρὸς τὸν νεανίαν ἐκεῖνον λέγων Κατακάρπως κατοι-
κηθήσεται Ιερουσαλημ ἀπὸ πλήθους ἀνθρώπων καὶ κτηνῶν ἐν μέσῳ
αὐτῆς· 9καὶ ἐγὼ ἔσομαι αὐτῇ, λέγει κύριος, τεῖχος πυρὸς κυκλόθεν 9
καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς. 10ὢ ὢ φεύγετε ἀπὸ γῆς 10
βορρᾶ, λέγει κύριος, διότι ἐκ τῶν τεσσάρων ἀνέμων τοῦ οὐρανοῦ
συνάξω ὑμᾶς, λέγει κύριος· 11εἰς Σιων ἀνασῴζεσθε, οἱ κατοικοῦν- 11
τες θυγατέρα Βαβυλῶνος. 12διότι τάδε λέγει κύριος παντοκράτωρ 12
Ὀπίσω δόξης ἀπέσταλκέν με ἐπὶ τὰ ἔθνη τὰ σκυλεύσαντα ὑμᾶς,
διότι ὁ ἁπτόμενος ὑμῶν ὡς ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ
αὐτοῦ· 13διότι ἰδοὺ ἐγὼ ἐπιφέρω τὴν χεῖρά μου ἐπ' αὐτούς, καὶ 13
ἔσονται σκῦλα τοῖς δουλεύουσιν αὐτοῖς, καὶ γνώσεσθε διότι κύριος
παντοκράτωρ ἀπέσταλκέν με. 14τέρπου καὶ εὐφραίνου, θύγατερ Σιων, 14
διότι ἰδοὺ ἐγὼ ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει κύ-
ριος. 15καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν κύριον ἐν τῇ ἡμέρᾳ 15
ἐκείνῃ καὶ ἔσονται αὐτῷ εἰς λαὸν καὶ κατασκηνώσουσιν ἐν μέσῳ
σου, καὶ ἐπιγνώσῃ ὅτι κύριος παντοκράτωρ ἐξαπέσταλκέν με πρὸς
σέ. 16καὶ κατακληρονομήσει κύριος τὸν Ιουδαν τὴν μερίδα αὐτοῦ 16
ἐπὶ τὴν γῆν τὴν ἁγίαν καὶ αἱρετιεῖ ἔτι τὴν Ιερουσαλημ. 17εὐλα- 17
βείσθω πᾶσα σὰρξ ἀπὸ προσώπου κυρίου, διότι ἐξεγήγερται ἐκ
νεφελῶν ἁγίων αὐτοῦ.

1Καὶ ἔδειξέν μοι Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν ἑστῶτα πρὸ προσ- 3
ώπου ἀγγέλου κυρίου, καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ τοῦ
ἀντικεῖσθαι αὐτῷ. 2καὶ εἶπεν κύριος πρὸς τὸν διάβολον Ἐπιτιμήσαι 2
κύριος ἐν σοί, διάβολε, καὶ ἐπιτιμήσαι κύριος ἐν σοὶ ὁ ἐκλεξάμενος
τὴν Ιερουσαλημ· οὐκ ἰδοὺ τοῦτο ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός;
3καὶ Ἰησοῦς ἦν ἐνδεδυμένος ἱμάτια ῥυπαρὰ καὶ εἱστήκει πρὸ προσ- 3
ώπου τοῦ ἀγγέλου. 4καὶ ἀπεκρίθη καὶ εἶπεν πρὸς τοὺς ἑστηκότας 4
πρὸ προσώπου αὐτοῦ λέγων Ἀφέλετε τὰ ἱμάτια τὰ ῥυπαρὰ ἀπ'
αὐτοῦ. καὶ εἶπεν πρὸς αὐτόν Ἰδοὺ ἀφῄρηκα τὰς ἀνομίας σου, καὶ
ἐνδύσατε αὐτὸν ποδήρη 5καὶ ἐπίθετε κίδαριν καθαρὰν ἐπὶ τὴν κε- 5

7 συναντ.] απαντ. AQ | αυτω] -του AQC || 8 λεγων $1^0$ > S*† | νεανισκον SL† | εν μεσω] pr. των AL || 9 λεγει] φησιν AQ | αυτης] -των A || 12 απτομενος ult. BW] pr. ο SAQLC || 13 δουλευσασιν AQC | γνωσονται S*† | διοτι ult. AQW] οτι BSLC: cf. 17 || 14 διοτι] οτι S*† | εγω > AC || 15 επιγνωση] επι > $S^c$L† | εξαπεστ.] εξ > A† || 16 την μεριδα S*QWL] pr. και A$S^c$C, τη μεριδι B† || 17 διοτι AQW] οτι BSLC: cf. 13

3 1 εδειξεν μοι W† = 𝔐] + κυριος rel. | ιησουν AQW] pr. τον BSLC | του > A† || 4 εστωτας S*† | αφηρηκα] + απο σου LC = 𝔐